# Epître de Saint Jean (3)

## Chapitre 1

[1]ο πρεσβυτερος γαιω τω αγαπητω ον εγω αγαπω εν αληθεια [2]αγαπητε περι παντων ευχομαι
σε ευοδουσθαι και υγιαινειν καθως ευοδουται σου η ψυχη [3]εχαρην γαρ λιαν ερχομενων
αδελφων και μαρτυρουντων σου τη αληθεια καθως συ εν αληθεια περιπατεις [4]μειζοτεραν
τουτων ουκ εχω χαριν ινα ακουω τα εμα τεκνα εν τη αληθεια περιπατουντα [5]αγαπητε πιστον
ποιεις ο εαν εργαση εις τους αδελφους και τουτο ξενους [6]οι εμαρτυρησαν σου τη αγαπη
ενωπιον εκκλησιας ους καλως ποιησεις προπεμψας αξιως του θεου [7]υπερ γαρ του ονοματος
εξηλθον μηδεν λαμβανοντες απο των εθνικων [8]ημεις ουν οφειλομεν υπολαμβανειν τους
τοιουτους ινα συνεργοι γινωμεθα τη αληθεια [9]εγραψα τι τη εκκλησια αλλ ο φιλοπρωτευων
αυτων διοτρεφης ουκ επιδεχεται ημας [10]δια τουτο εαν ελθω υπομνησω αυτου τα εργα α ποιει
λογοις πονηροις φλυαρων ημας και μη αρκουμενος επι τουτοις ουτε αυτος επιδεχεται τους
αδελφους και τους βουλομενους κωλυει και εκ της εκκλησιας εκβαλλει [11]αγαπητε μη μιμου
το κακον αλλα το αγαθον ο αγαθοποιων εκ του θεου εστιν ο κακοποιων ουχ εωρακεν τον
θεον [12]δημητριω μεμαρτυρηται υπο παντων και υπο αυτης της αληθειας και ημεις δε
μαρτυρουμεν και οιδας οτι η μαρτυρια ημων αληθης εστιν [13]πολλα ειχον γραψαι σοι αλλ ου
θελω δια μελανος και καλαμου σοι γραφειν [14]ελπιζω δε ευθεως σε ιδειν και στομα προς
στομα λαλησομεν [1 15] ειρηνη σοι ασπαζονται σε οι φιλοι ασπαζου τους φιλους κατ ονομα